eul_wid: kjq-am

*Ἐπικά Ἀδέσποτα* · Epic Work Anonymous

# Ethopoeic Exercise

*Ἠθοποιία*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἐπική* Epic (Homeric) (frg)
**Domain:** *Ἔπος* Epic
**Format:** *Ἔμμετρος* Verse

unit_1 Τί βλοσυροῦ κυανωπὸν ὕδωρ ἐπιβαίνετε [πόν]του βύσσινα κολπώσαντες ἐφ’ ὁλκάσι χίλια λαίφη; τί πλόον ἐντύνεσθε ταχεῖς ἐπὶ πάτρια τείχη μηδὲ γέρας νείμαντες ἐς ἀσπίσι πολλὰ καμόντος εἰς ἀρετήν; ποῖον γὰρ ἀτείρεα μόχθον ἀνύσσας οὐκ ἔτλην; ποῖον δὲ δι’ Ἄρεος ἄνδρα κατά[ντη] [ο]ὐ νυχ[ίαν] Πλούτωνος ἐς ἄκριτον [ἤ]λασα μοῖραν;